πῶς οὐκ εὔδηλον ὅτι φύσει πᾶσι τοῖς τοιούτοις ἔργοις ἐπο-
117 λέμουν; Ἵππαρχον γὰρ τὸν Χάρμου, οὐχ ὑπομείναντα τὴν
περὶ τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν, ἀλλ' ἔρημον τὸν
ἀγῶνα ἐάσαντα, θανάτῳ τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς
ἀδικίας οὐκ ἔλαβον τὸ σῶμα ὅμηρον, τὴν εἰκόνα αὐτοῦ ἐξ
ἀκροπόλεως καθελόντες καὶ συγχωνεύσαντες καὶ ποιήσαν-
τες στήλην, ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἀλιτη-
ρίους καὶ τοὺς προδότας· καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ
118 στήλῃ ἀναγέγραπται, καὶ οἱ ἄλλοι δὲ προδόται. καί μοι
λαβὲ πρῶτον μὲν τὸ ψήφισμα, καθ' ὃ ἡ εἰκὼν τοῦ Ἱππάρχου
{τοῦ προδότου} ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς
στήλης τὸ ὑπόγραμμα, καὶ τοὺς ὕστερον προσαναγραφέν-
τας προδότας εἰς ταύτην τὴν στήλην, καὶ ἀναγίγνωσκε
γραμματεῦ.

## ΨΗΦΙΣΜΑ ΚΑΙ ΥΠΟΓΡΑΜΜΑ ΤΗΣ ΣΤΗΛΗΣ

119 Τί δοκοῦσιν ὑμῖν ὦ ἄνδρες; ἆρά γ' ὁμοίως ὑμῖν περὶ τῶν
ἀδικούντων γιγνώσκειν, καὶ οὐκ, ἐπειδὴ καὶ τὸ σῶμα οὐκ
ἐδύναντο ὑποχείριον τοῦ προδότου λαβεῖν, τὸ μνημεῖον
{τοῦ προδότου} ἀνελόντες ταῖς ἐνδεχομέναις τιμωρίαις
ἐκόλασαν; οὐχ ὅπως τὸν χαλκοῦν ἀνδριάντα συγχωνεύ-
σειαν, ἀλλ' ἵνα τοῖς ἐπιγιγνομένοις παράδειγμα εἰς τὸν
λοιπὸν χρόνον ὡς εἶχον πρὸς τοὺς προδότας καταλίποιεν.
120 Λαβὲ δ' αὐτοῖς καὶ τὸ ἕτερον ψήφισμα ⟨τὸ⟩ περὶ τῶν
εἰς Δεκέλειαν μεταστάντων, ὅτε ὁ δῆμος ὑπὸ Λακεδαι-